Isócrates

Παραγραφή πρὸς Καλλίμαχον

Recurso contra Calímaco

Traducción de

Juan Manuel Guzmán Hermida

RECURSO CONTRA CALÍMACO (XVIII)
[1] Παραγραφή πρὸς Καλλίμαχον

INTRODUCCIÓN

A comienzos del año 403 a. C. están en el poder en Atenas los Diez[1], y es Patrocles arconte rey[2]; éste descubre que un cierto Calímaco tiene en su poder una fuerte suma de dinero perteneciente a uno de los exiliados del Pireo. Llevado Calímaco ante el Consejo, se le confisca el dinero. Cuando vuelven a Atenas los del Pireo, Calímaco promueve diversos procesos: consigue de Patrocles diez minas de plata, doscientas dracmas de Lisímaco, y, a continuación, acusa al cliente de Isócrates, cuyo nombre ignoramos. Para no llegar ante los Tribunales, hacen un juicio arbitral (cf. Aristóteles, Constitución de Atenas 53, 2), actuando como árbitro Nicómaco de Bata. Con todo, Calímaco decide después acusarle de nuevo, y entonces el cliente de Isócrates intenta un recurso de excepción o paragraphé. El origen de este recurso es el siguiente: al volver los demócratas a Atenas en el año 403, han acordado una amnistía, de la que sólo quedan excluidos los Treinta, los Diez, los Once[3] y los antiguos gobernadores del Pireo (cf. Aristóteles, Const. de At. 39 6). Para hacer efectiva esta amnistía, Arquino, jefe del partido democrático, decidió que el Consejo condenara a muerte, sin juicio, a cualquiera que atacase a un antiguo enemigo. Como esto no fuera suficiente, Arquino hizo votar la ley que cita el acusado (cf. 2-3). Por lo que se nos dice al principio del discurso, parece que es la primera vez que se hace uso de esta paragraphé.

La fecha del discurso puede situarse en el año 402 a. C. Por su simplicidad de estilo, algunos lo han atribuido a Iseo.



[1] Los que se habían visto obligados a huir de Atenas ante la persecución de los Treinta eligieron como jefe a Trasibulo, antiguo almirante de la escuadra; bajo su dirección tomaron por sorpresa File, castillo de las montañas al N. de Atenas, y más larde el puerto del Pireo; ante estos hechos, el pueblo ateniense se sublevó y eligió a diez ciudadanos para que actuaran de intermediarios entre los oligarcas y los demócratas.

[2] El colegio de los arcontes fue en Atenas la primera limitación al poder de la monarquía; fueron tres al principio (siglo VIII antes de Cristo) arconte rey (presidente del Areópago y heredero de las funciones religiosas del antiguo rey), arconte polemarco (Jefe del ejército) y el de más amplias funciones, llamado arconte epónimo porque daba nombre al año de su mandato; en el siglo VII a. C. se añadieron seis nuevos arcontes, los tesmotetas, o revisores de las leyes y más tarde otro arconte secretario. El poder de estos diez arcontes fue debilitándose cada vez más tras las sucesivas reformas políticas, aunque el cargo mantuvo gran prestigio.

[3] Los Once eran magistrados encargados de la inspección de las prisiones y de la ejecución de las penas de muerte.

RECURSO CONTRA CALÍMACO (XVIII)
[1] Παραγραφή πρὸς Καλλίμαχον

εἰ μὲν καὶ ἄλλοι τινὲς ἦσαν ἠγωνισμένοι τοιαύτην παραγραφήν, ἀπ᾽ αὐτοῦ τοῦ πράγματος ἠρχόμην ἂν τοὺς λόγους ποιεῖσθαι: νῦν δ᾽ ἀνάγκη περὶ τοῦ νόμου πρῶτον εἰπεῖν καθ᾽ ὃν εἰσεληλύθαμεν, ἵν᾽ ἐπιστάμενοι περὶ ὧν ἀμφισβητοῦμεν, τὴν ψῆφον φέρητε, καὶ μηδεὶς ὑμῶν θαυμάσῃ διότι φεύγων τὴν δίκην πρότερος λέγω τοῦ διώκοντος.

1 Si también otros hubieran sostenido un recurso parecido, empezaría a hablar de la causa propiamente dicha; pero ahora es forzoso hacer primero una referencia a la ley por la que hemos comparecido, para que emitáis vuestro voto al conocer el motivo de nuestra disputa, y para que ninguno de vosotros se extrañe de que siendo yo el acusado hable antes que el acusador[4].

[2] ἐπειδὴ γὰρ ἐκ Πειραιέως κατελθόντες ἐνίους ἑωρᾶτε τῶν πολιτῶν συκοφαντεῖν ὡρμημένους καὶ τὰς συνθήκας λύειν ἐπιχειροῦντας, βουλόμενοι τούτους τε παῦσαι καὶ τοῖς ἄλλοις ἐπιδεῖξαι ὅτι οὐκ ἀναγκασθέντες ἐποιήσασθ᾽ αὐτὰς ἀλλ᾽ ἡγούμενοι τῇ πόλει συμφέρειν, εἰπόντος Ἀρχίνου νόμον ἔθεσθε, ἄν τις δικάζηται παρὰ τοὺς ὅρκους, ἐξεῖναι τῷ φεύγοντι παραγράψασθαι, τοὺς δ᾽ ἄρχοντας περὶ τούτου πρῶτον εἰσάγειν, λέγειν δὲ πρότερον τὸν παραγραψάμενον,

2 Después que volvisteis del Pireo, visteis que algunos ciudadanos deseaban hacer acusaciones falsas e intentaban violar las disposiciones de amnistía. Con el deseo de hacerles desistir y de mostrar a los demás que no habíais hecho esas disposiciones a la fuerza, sino pensando en beneficiar a la ciudad, votasteis la ley propuesta por Arquino: «Si alguno hiciera una acusación contra lo jurado, permítasele al acusado interponer un recurso, los magistrados sometan al Tribunal esto con prioridad, y hable el primero el que presentó el recurso;

[3] ὁπότερος δ᾽ ἂν ἡττηθῇ, τὴν ἐπωβελίαν ὀφείλειν, ἵν᾽ οἱ τολμῶντες μνησικακεῖν μὴ μόνον ἐπιορκοῦντες ἐξελέγχοιντο μηδὲ τὴν παρὰ τῶν θεῶν τιμωρίαν ὑπομένοιεν ἀλλὰ καὶ παραχρῆμα ζημιοῖντο. δεινὸν οὖν ἡγησάμην, εἰ τῶν νόμων οὕτως ἐχόντων ἐγὼ περιόψομαι τὸν μὲν συκοφάντην ἐν τριάκοντα δραχμαῖς κινδυνεύοντα, ἐμαυτὸν δὲ περὶ τῆς οὐσίας ἁπάσης ἀγωνιζόμενον.

3 y la parte que resulte condenada quede obligada a pagar una sexta parte de la suma total[5], para que los que se atrevan a pensar en la venganza no sólo queden convictos de sus falsas acusaciones y no aguarden el castigo de los dioses, sino que al instante sean castigados.» Pensé que sería ridículo si, habiendo leyes así, yo consintiese que mi calumniador se arriesgase en treinta dracmas y, en cambio, yo disputase toda mi hacienda.

[4] ἀποδείξω δὲ Καλλίμαχον οὐ μόνον παρὰ τὰς συνθήκας δικαζόμενον, ἀλλὰ καὶ περὶ τῶν ἐγκλημάτων ψευδόμενον, καὶ προσέτι δίαιταν

4 Demostraré que Calímaco no sólo promueve un proceso contra las disposiciones de amnistía, sino que miente en sus acusaciones, y que, además, ya

[4] Esta era otra de las circunstancias excepcionales autorizadas por la *paragraphé*; lo normal es que hable primero el acusador.
[5] Multa llamada *epobelía*; como la cantidad reclamada por Calímaco es de 10.000 dracmas, si éste no obtiene una quinta parte de los votos del Tribunal, se verá obligado a pagar 1.666 dracmas y cuatro óbolos, y no las 30 dracmas que es la cantidad de fianza pedida normalmente al presentar una querella judicial.

ἡμῖν γεγενημένην περὶ αὐτῶν. βούλομαι δ᾽ ἐξ ἀρχῆς ὑμῖν διηγήσασθαι τὰ πραχθέντα: ἂν γὰρ τοῦτο μάθητε ὡς οὐδὲν ὑπ᾽ ἐμοῦ κακὸν πέπονθεν, ἡγοῦμαι ταῖς τε συνθήκαις ὑμᾶς ἥδιον βοηθήσειν καὶ τούτῳ μᾶλλον ὀργιεῖσθαι.

habíamos hecho nosotros un juicio arbitral sobre ellas. Quiero explicaros los hechos desde el principio; pues, si os dais cuenta de que no sufrió mal alguno por mi culpa, creo que con más gusto defenderéis las disposiciones de amnistía y contra él os irritaréis más.

[5] ἦρχον μὲν γὰρ οἱ δέκα οἱ μετὰ τοὺς τριάκοντα καταστάντες, ὄντος δέ μοι Πατροκλέους ἐπιτηδείου, τοῦ τότε βασιλεύοντος, ἔτυχον μετ᾽ αὐτοῦ βαδίζων. ἐκεῖνος δ᾽ ἐχθρὸς ὢν Καλλιμάχῳ τῷ νῦν ἐμὲ διώκοντι τὴν δίκην, ἀπήντησεν ἀργύριον φέροντι. λαβόμενος δ᾽ αὐτοῦ Πάμφιλον ἔφασκεν αὐτὸ καταλιπεῖν καὶ δημόσιον γίγνεσθαι: ἐκεῖνον γὰρ εἶναι τῶν ἐν Πειραιεῖ.

5 Estaban en el poder los Diez, que se establecieron tras los Treinta; un día, paseando, me encontré con mi amigo Patrocles, que era entonces arconte rey. Él estaba enemistado con Calímaco, éste que me entabla el proceso, y descubrió que tenía dinero en su poder. Después que Patrocles prendió a Calímaco, decía que el dinero se lo había confiado Anfíloco y que por tanto era dinero estatal, pues este Anfíloco era de los del Pireo.

[6] ἀμφισβητοῦντος δὲ τούτου καὶ λοιδορίας αὐτοῖς γενομένης ἄλλοι τε πολλοὶ συνέδραμον, καὶ κατὰ τύχην Ῥίνων εἷς τῶν δέκα γενόμενος προσῆλθεν. εὐθὺς οὖν πρὸς αὐτὸν τὴν φάσιν τῶν χρημάτων ὁ Πατροκλῆς ἐποιεῖτο: ὁ δ᾽ ὡς τοὺς συνάρχοντας ἦγεν ἀμφοτέρους. ἐκεῖνοι δ᾽ εἰς τὴν βουλὴν περὶ αὐτῶν ἀπέδοσαν: κρίσεως δὲ γενομένης ἔδοξε τὰ χρήματα δημόσι᾽ εἶναι. μετὰ δὲ ταῦτ᾽,

6 Como Calímaco se lo negara y se injuriaran mutuamente, acudieron otros muchos y se presentó también casualmente Rinón, que era uno de los Diez. Inmediatamente Patrocles le hizo la denuncia del dinero, y Rinón condujo a ambos ante sus colegas. Aquéllos los enviaron al Consejo[6]. Celebrado el juicio, se resolvió que el dinero era propiedad del estado. Más tarde,

[7] ἐπειδὴ κατῆλθον οἱ φεύγοντες ἐκ Πειραιέως, οὗτος ἐνεκάλει τῷ Πατροκλεῖ καὶ δίκας ἐλάγχανεν ὡς αἰτίῳ τῆς συμφορᾶς γεγενημένῳ: διαλλαγεὶς δὲ πρὸς ἐκεῖνον καὶ πραξάμενος αὐτὸν δέκα μνᾶς ἀργυρίου Λυσίμαχον ἐσυκοφάντει: λαβὼν δὲ καὶ παρὰ τούτου διακοσίας δραχμὰς ἐμοὶ πράγματα παρεῖχεν. καὶ τὸ μὲν πρῶτον ἐνεκάλει φάσκων με συμπράττειν ἐκείνοις, τελευτῶν δ᾽ εἰς τοῦτ᾽ ἀναιδείας ἦλθεν ὥσθ᾽ ἁπάντων με τῶν γεγενημένων ἠτιᾶτο: ἅπερ ἴσως καὶ νῦν τολμήσει κατηγορεῖν.

7 cuando volvieron los desterrados del Pireo, Calímaco acusó a Patrocles y le incoó un proceso como responsable de su desgracia. Tras llegar a un acuerdo y obtener de él diez minas de plata, acusaba falsamente a Lisímaco; habiendo conseguido también de éste doscientas dracenas, me ocasionaba dificultades a mí. Al principio me acusaba diciendo que era cómplice de aquéllos, pero finalmente llegó a tanta desvergüenza, que me hizo responsable de todo lo ocurrido. Quizá también ahora se atreverá a acusarme de esto.

[8] ἐγὼ δ᾽ ὑμῖν παρέξομαι μάρτυρας πρῶτον μὲν τοὺς ἐξ ἀρχῆς παραγενομένους, ὡς οὔτ᾽ ἐπελαβόμην οὔτ᾽ ἐφηψάμην τῶν χρημάτων, ἔπειτα Ῥίνωνα καὶ τοὺς συνάρχοντας, ὡς οὐκ ἐγὼ

8 Pero yo os presentaré como testigos de que ni colaboré en su detención ni le cogí el dinero, a los que presenciaron el asunto desde sus comienzos; luego, a Rinón y sus colegas, testigos también de

[6] Mientras gobernaron los Treinta y los Diez, el Consejo usurpó las funciones judiciales de los tribunales atenienses (cf. nota
7 Queda entre paréntesis el espacio dedicado a la declaración de los testigos, lectura de disposiciones, leyes, etc., que no se han conservado.

τὴν φάσιν ἀλλὰ Πατροκλῆς ἐποιήσατο πρὸς αὐτούς, ἔτι δὲ τοὺς βουλευτάς, ὡς ἐκεῖνος ἦν ὁ κατηγορῶν.

que yo no hice la denuncia ante ellos, sino Patrocles, e incluso os presentaré a los miembros del Consejo, para demostrar que Patrocles fue el acusador..

καί μοι κάλει τούτων μάρτυρας."

Llámame a los testigos de estos hechos.

Μάρτυρες

(TESTIGOS)[7]

[9] οὕτω τοίνυν πολλῶν παραγενομένων τοῖς πραχθεῖσιν, ὥσπερ οὐδενὸς συνειδότος αὐτὸς μὲν οὗτος ἐφιστάμενος εἰς τοὺς ὄχλους καὶ καθίζων ἐπὶ τοῖς ἐργαστηρίοις λόγους ἐποιεῖτο ὡς δεινὰ πεπονθὼς ὑπ᾽ ἐμοῦ καὶ τῶν χρημάτων ἀπεστερημένος, τῶν δὲ χρωμένων τινὲς τούτῳ προσιόντες μοι συνεβούλευον ἀπαλλάττεσθαι τῆς πρὸς τοῦτον διαφορᾶς καὶ μὴ βούλεσθαι κακῶς ἀκούειν μηδὲ κινδυνεύειν περὶ πολλῶν χρημάτων, μηδ᾽ εἰ σφόδρα πιστεύω τῷ πράγματι, λέγοντες ὡς πολλὰ παρὰ γνώμην ἐν τοῖς δικαστηρίοις ἀποβαίνει,

9 "Así que, aunque muchos habían asistido a los hechos como si nadie lo supiera, este mismo Calímaco, deteniéndose en los grupos y sentándose en los talleres, hablaba de que había sido injuriado gravemente por mí y privado de su dinero. Algunos de sus amigos se acercaban y me aconsejaban que cesara la discusión con él y que desistiera de ser tenido en mal concepto y de arriesgarme en mucho dinero, aunque estuviera muy confiado en mis razones; decían que muchas causas se resuelven en los tribunales contra lo esperado,

[10] καὶ ὅτι τύχῃ μᾶλλον ἢ τῷ δικαίῳ κρίνεται τὰ παρ᾽ ὑμῖν, ὥστε λυσιτελεῖν μοι μίκρ᾽ ἀναλώσαντι μεγάλων ἐγκλημάτων ἀπαλλαγῆναι μᾶλλον ἢ μηδὲν ἀποτείσαντι κινδυνεύειν περὶ τηλικούτων. τί δ᾽ ἂν ὑμῖν τὰ πολλὰ καθ᾽ ἕκαστον διηγοίμην; οὐδὲν γὰρ παρέλιπον τῶν εἰθισμένων περὶ τῶν τοιούτων λέγεσθαι. τελευτῶν δ᾽ οὖν ἐπείσθην, ἅπαντα γὰρ εἰρήσεται τἀληθῆ πρὸς ὑμᾶς, δοῦναι τούτῳ διακοσίας δραχμάς. ἵνα δὲ μὴ πάλιν ἐξείη συκοφαντεῖν αὐτῷ, δίαιταν ἐπὶ ῥητοῖς ἐπετρέψαμεν Νικομάχῳ Βατῆθεν. ..."

10 y que en los vuestros, se juzga más al azar que con justicia; que, por ello, me convenía quedar libre de grandes acusaciones, tras hacer un pequeño pago, a arriesgarme en cosas mayores sin haberlo hecho. ¿Por qué os entretengo con tanto detalle en cada cosa? Porque nada dejaron de decir de lo que se acostumbra en tales casos. Finalmente me persuadieron —os diré, pues, toda la verdad— a que le diera doscientas dracmas, y para que no pudiera otra vez hacer una falsa acusación, confiamos un arbitraje con ciertas condiciones[8] a Nicómaco de Bata…[9]. "

Μάρτυρες

(TESTIGOS)

[11] τὸ μὲν τοίνυν πρῶτον ἐνέμεινε τοῖς ὡμολογημένοις, ὕστερον δ᾽ ἐπιβουλεύσας μετὰ Ξενοτίμου, τοῦ τοὺς νόμους διαφθείροντος καὶ τὰ δικαστήρια δεκάζοντος καὶ τὰς ἀρχὰς λυμαινομένου καὶ πάντων κακῶν αἰτίου,

11 "Al principio respetó lo acordado, pero más tarde, en connivencia con Jenótimo, el que falseó las leyes, corrompió los tribunales, ultrajó a los magistrados y fue autor de toda clase de delitos, promueve contra mí un proceso por diez mil

[7] Queda entre paréntesis el espacio dedicado a la declaración de los testigos, lectura de disposiciones, leyes, etc., que no se han conservado.

[8] ARISTÓTELES, en la *Constitución de Atenas* 53, 2-6, nos da detalles sobre el juicio arbitral; en el discurso *Sobre un asunto de banca* veremos de nuevo este recurso jurídico.

[9] Laguna, que BLASS ha cubierto con los términos habituales «llámame a los testigos de estos hechos».

λαγχάνει μοι δίκην μυρίων δραχμῶν. προβαλλομένου δ᾽ ἐμοῦ μάρτυρα, ὡς οὐκ εἰσαγώγιμος ἦν ἡ δίκη διαίτης γεγενημένης, ἐκείνῳ μὲν οὐκ ἐπεξῆλθεν,

dracmas. Al presentar yo un testigo de que la acusación era inadmisible por haberse producido un juicio arbitral, no atacó al testigo.

[12] εἰδὼς ὅτι, εἰ μὴ μεταλάβοι τὸ πέμπτον μέρος τῶν ψήφων, τὴν ἐπωβελίαν ὀφλήσει, πείσας δὲ τὴν ἀρχὴν πάλιν τὴν αὐτὴν δίκην ἐγράψατο, ὡς ἐν τοῖς πρυτανείοις μόνον κινδυνεύσων. ἀπορῶν δ᾽ ὅ τι χρησαίμην τοῖς κακοῖς, ἡγησάμην εἶναι κράτιστον ἐξ ἴσου καταστήσαντ᾽ ἀμφοτέροις τὸν κίνδυνον εἰσελθεῖν εἰς ὑμᾶς. καὶ τὰ μὲν γενόμενα ταῦτ᾽ ἐστίν.

12 Pero, como sabía que, si no obtenía una quinta parte de los votos, quedaría obligado a pagar un sexto de la suma total, después de convencer al magistrado, presentó de nuevo la misma acusación, con la idea de arriesgarse sólo en la suma depositada para entablar el proceso. Y como yo no sabía cómo manejarme en estas dificultades, consideré lo mejor venir ante vosotros, corriendo ambos el mismo riesgo. Y éstos son los hechos.

[13] πυνθάνομαι δὲ Καλλίμαχον οὐ μόνον περὶ τῶν ἐγκλημάτων διανοεῖσθαι ψευδῆ λέγειν, ἀλλὰ καὶ τὴν δίαιταν μέλλειν ἔξαρνον εἶναι καὶ παρεσκευάσθαι λέγειν τοιούτους λόγους, ὡς οὐκ ἄν ποτ᾽ ἐπέτρεψε Νικομάχῳ δίαιταν, ὃν ἠπίστατο πάλαι χρώμενον ἡμῖν, καὶ ὡς οὐκ εἰκὸς ἦν αὐτὸν ἀντὶ μυρίων δραχμῶν διακοσίας ἐθελῆσαι λαβεῖν.

13 Sé que Calímaco no sólo se dispone a mentir acerca del motivo de la acusación, sino que incluso va a intentar negar el juicio arbitral y se prepara a hablar en el sentido de que nunca confió un juicio arbitral a Nicómaco, a quien sabía antiguo amigo nuestro, y de que no era verosímil que quisiera aceptar doscientas dracmas en vez de diez mil.

[14] ὑμεῖς δ᾽ ἐνθυμεῖσθε πρῶτον μὲν ὅτι τὴν δίαιταν οὐκ ἀμφισβητοῦντες ἀλλ᾽ ἐπὶ ῥητοῖς ἐπετρέψαμεν, ὥστ᾽ οὐδὲν ἄτοπον ἐποίησεν, εἰ Νικόμαχον εἵλετο διαιτητήν, ἀλλὰ πολὺ μᾶλλον εἰ περὶ τῶν πραγμάτων ὡμολογηκὼς περὶ τοῦ διαιτητοῦ διεφέρετο. ἔπειτ᾽ ὀφειλομένων μὲν αὐτῷ μυρίων δραχμῶν οὐκ εἰκὸς ἦν αὐτὸν ἐπὶ δυοῖν μναῖν ποιήσασθαι τὴν διαλλαγήν: ἀδίκως δ᾽ αἰτιώμενον καὶ συκοφαντοῦντα οὐδὲν θαυμαστὸν τοσοῦτον ἐθελῆσαι λαβεῖν. ἔτι δ᾽, εἰ μεγάλ᾽ ἐγκαλῶν ὀλίγ᾽ ἐπράξατο, οὐ τούτῳ τοῦτο τεκμήριόν ἐστιν, ὡς ἡ δίαιτα οὐ γέγονεν, ἀλλὰ πολὺ μᾶλλον ἡμῖν, ὡς καὶ τὴν ἀρχὴν οὐ δικαίως ἐνεκάλεσεν.

14 Pero vosotros considerad, en primer lugar, que no discutimos el juicio arbitral, sino que nos confiamos a él con ciertas condiciones, de manera que no hizo nada fuera de lugar al aceptar a Nicómaco como árbitro; mucho más raro sería que, estando de acuerdo con los hechos, rechazara al árbitro. Además no sería probable que, si se le debían diez mil dracmas, hiciese un acuerdo por dos minas; pero si su reclamación es injusta y él un sicofanta[10], nada tiene de admirable que quisiera haber aceptado esto. E incluso, si reclamando mucho obtuvo poco, esto no es una prueba en su favor de que el juicio arbitral no se produjo, sino mucho más para nosotros de que su reclamación no fue justa desde el principio.

[15] θαυμάζω δ᾽ εἰ αὑτὸν μὲν ἱκανὸν γνῶναι νομίζει ὅτι οὐκ εἰκὸς ἀντὶ μυρίων δραχμῶν διακοσίας ἐθελῆσαι λαβεῖν, ἐμὲ δ᾽ οὐκ ἂν οἴεται

15 Me causa admiración que, si se cree capaz de reconocer como inverosímil el hecho de aceptar doscientas dracmas en vez de diez mil, piense

[10] Etimológicamente, el que denuncia el comercio ilegal de higos; por extensión, delator, sobre todo cuando la acusación es falsa.

τοῦτ᾽ ἐξευρεῖν, εἴπερ ἠβουλόμην ψευδῆ λέγειν, ὅτι πλέον ἔδει φάσκειν τούτων δεδωκέναι. ἀξιῶ δ᾽, ὅσον περ ἂν τούτῳ σημεῖον ἦν ὡς ἡ δίαιτα οὐ γέγονεν, ἑλόντι τὰ διαμαρτυρηθέντα, τοσοῦτον ἐμοὶ γενέσθαι τεκμήριον ὡς ἀληθῆ λέγω περὶ αὐτῆς, ἐπειδὴ τῷ μάρτυρι φανερός ἐστιν οὐδ᾽ ἐπεξελθεῖν ἀξιώσας.

que yo no descubriese, en el caso de querer mentir, que convenía ir diciendo que le había dado una suma mayor. Pido que de la misma forma que sería una prueba en su favor de que no se celebró el juicio arbitral si demostrase la falsedad del testigo, lo sea igualmente para mí de que digo la verdad sobre este juicio, puesto que está claro que no se atrevió a recusar a mi testigo.

[16] ἡγοῦμαι δ᾽, εἰ μήθ᾽ ἡ δίαιτα ἐγεγόνει μήτε τῶν πεπραγμένων ἦσαν μάρτυρες, ἔδει δ᾽ ἐκ τῶν εἰκότων σκοπεῖν, οὐδ᾽ οὕτω χαλεπῶς ἂν ὑμᾶς γνῶναι τὰ δίκαια. εἰ μὲν γὰρ καὶ τοὺς ἄλλους ἀδικεῖν ἐτόλμων, εἰκότως ἄν μου κατεγιγνώσκετε καὶ περὶ τοῦτον ἐξαμαρτάνειν: νῦν δ᾽ οὐδένα φανήσομαι τῶν πολιτῶν οὔτε χρήμασι ζημιώσας οὔτε περὶ τοῦ σώματος εἰς κίνδυνον καταστήσας, οὔτ᾽ ἐκ μὲν τῶν μετεχόντων τῆς πολιτείας ἐξαλείψας, εἰς δὲ τὸν μετὰ Λυσάνδρου κατάλογον ἐγγράψας.

16 En mi opinión, si no se hubiera realizado el juicio arbitral ni existieran testigos de los hechos y fuera preciso examinar lo probable, ni aún así os hubiera sido difícil sentenciar lo justo. Pues, si me hubiera atrevido a delinquir contra otros, con razón me habríais acusado de haberlo hecho también contra éste. Pero ahora me mostraré como una persona que no perjudicó a ningún ciudadano en su hacienda, ni le puso en peligro de muerte, ni le excluyó de los derechos cívicos, ni le inscribió en la lista de Lisandro[11].

[17] καίτοι πολλοὺς ἐπῆρεν ἡ τῶν τριάκοντα πονηρία τοιαῦτα ποιεῖν: οὐ γὰρ ὅτι τοὺς ἀδικοῦντας ἐκόλαζον, ἀλλ᾽ ἐνίοις καὶ προσέταττον ἐξαμαρτάνειν. ἐγὼ μὲν τοίνυν οὐδ᾽ ἐπὶ τῆς ἐκείνων ἀρχῆς οὐδὲν εὑρεθήσομαι τοιοῦτον ἐργασάμενος: οὗτος δ᾽ ἀδικηθῆναί φησιν, ὅτ᾽ ἐξεβέβληντο μὲν οἱ τριάκοντα, ὁ δὲ Πειραιεὺς ἦν κατειλημμένος, ἐκράτει δ᾽ ὁ δῆμος, περὶ διαλλαγῶν δ᾽ ἦσαν οἱ λόγοι.

17 Y eso que la maldad de los Treinta empujó a muchos a hacer cosas parecidas; porque no castigaban a los criminales, sino que aún más, mandaban delinquir a algunas personas. A mí, en cambio, ni siquiera bajo su mandato se me encontrará como autor de una cosa así; pero este Calímaco dice que sufrió una injusticia cuando los Treinta fueron expulsados, y el Pireo ocupado, cuando el pueblo estaba en el poder y las palabras eran de reconciliación.

[18] καίτοι δοκεῖ ἂν ὑμῖν, ὅστις ἐπὶ τῶν τριάκοντα κόσμιον αὑτὸν παρέσχεν, εἰς τοῦτον ἀποθέσθαι τὸν χρόνον ἀδικεῖν, ἐν ᾧ καὶ τοῖς πρότερον ἡμαρτηκόσι μετέμελεν; ὃ δὲ πάντων δεινότατον, εἰ τῶν μὲν ὑπαρχόντων ἐχθρῶν μηδ᾽ ἀμύνεσθαι μηδέν᾽ ἠξίωσα, τοῦτον δὲ κακῶς ποιεῖν ἐπεχείρουν, πρὸς ὃν οὐδὲν πώποτέ μοι συμβόλαιον ἐγένετο.

18 Y ¿os parece verosímil que quien bajo los Treinta se presentó como hombre de orden, evitase cometer delitos hasta este momento, en el que incluso se arrepentían los que antes habían delinquido? Y lo más absurdo de todo: si no creí conveniente vengarme de ninguno de mis enemigos anteriores, no iba a intentar hacer daño a éste, con quien nunca tuve contacto de ningún tipo.

[19] ὡς μὲν οὖν οὐκ αἴτιός εἰμι Καλλιμάχῳ τῆς τῶν χρημάτων δημεύσεως, ἱκανῶς ἀποδεδεῖχθαί μοι νομίζω: ὡς δ᾽ οὐκ ἐξῆν αὐτῷ δικάζεσθαι περὶ

19 Creo que he demostrado suficientemente que no soy responsable de la confiscación del dinero de Calímaco; y que no podía entablar un proceso

[11] Cf. nota 4 del discurso *Contra Eutino*.

τῶν τότε γεγενημένων, οὐδ᾽ εἰ πάντα ταῦτ᾽ ἦν πεποιηκὼς ἅ φησιν αὐτός, ἐκ τῶν συνθηκῶν γνώσεσθε.

καί μοι λαβὲ τὸ βιβλίον.”

Συνθῆκαι

[20] ἆρα μικρῷ τῷ δικαίῳ πιστεύων τὴν παραγραφὴν ἐποιησάμην, ἀλλ᾽ οὐ τῶν μὲν συνθηκῶν διαρρήδην ἀφιεισῶν τοὺς ἐνδείξαντας ἢ φήναντας ἢ τῶν ἄλλων τι τῶν τοιούτων πράξαντας, ἐμαυτὸν δ᾽ ἔχων ἀποφαίνειν, ὡς οὔτε ταῦτα πεποίηκα οὔτ᾽ ἄλλ᾽ οὐδὲν ἐξήμαρτον;

ἀνάγνωθι δή μοι καὶ τοὺς ὅρκους.”

Ὅρκοι

[21] οὐκ οὖν δεινόν, ὦ ἄνδρες δικασταί, οὕτω μὲν τῶν συνθηκῶν ἐχουσῶν, τοιούτων δὲ τῶν ὅρκων γενομένων, τοσοῦτον φρονεῖν Καλλίμαχον ἐπὶ τοῖς λόγοις τοῖς αὑτοῦ ὥσθ᾽ ἡγεῖσθαι πείσειν ὑμᾶς ἐναντία τούτοις ψηφίσασθαι; καὶ εἰ μὲν ἑώρα μεταμέλον τῇ πόλει τῶν πεπραγμένων, οὐκ ἄξιον ἦν θαυμάζειν αὐτοῦ: νῦν δ᾽ οὐ μόνον ἐν τῇ θέσει τῶν νόμων ἐπεδείξασθε περὶ πολλοῦ ποιούμενοι τὰς συνθήκας,

[22] ἀλλὰ καὶ Φίλωνα τὸν ἐκ Κοίλης ἐνδειχθέντα παραπρεσβεύεσθαι, καὶ περὶ μὲν τοῦ πράγματος οὐδὲν ἔχοντ᾽ ἀπολογήσασθαι, τὰς δὲ συνθήκας παρεχόμενον, ἔδοξεν ὑμῖν ἀφεῖναι καὶ μηδὲ κρίσιν περὶ αὐτοῦ ποιήσασθαι. καὶ ἡ μὲν πόλις οὐδὲ παρὰ τῶν ὁμολογούντων ἐξαμαρτάνειν ἀξιοῖ δίκην λαβεῖν, οὗτος δὲ καὶ τοὺς οὐδὲν ἠδικηκότας τολμᾷ συκοφαντεῖν.

[23] καὶ μὴν οὐδὲ τάδ᾽ αὐτὸν λέληθεν, ὅτι Θρασύβουλος καὶ Ἄνυτος μέγιστον μὲν δυνάμενοι τῶν ἐν τῇ πόλει, πολλῶν δ᾽ ἀπεστερημένοι χρημάτων, εἰδότες δὲ τοὺς ἀπογράψαντας, ὅμως οὐ τολμῶσιν αὐτοῖς δίκας λαγχάνειν οὐδὲ μνησικακεῖν, ἀλλ᾽ εἰ καὶ περὶ

sobre lo ocurrido entonces, ni aunque hubiera hecho todo eso que él dice, lo vais a conocer por las disposiciones de amnistía.

Alcánzame el documento.

(DISPOSICIONES)

20 ¿Acaso presenté el recurso confiando en una norma legal de poca importancia? Pero ¿no absuelven claramente las disposiciones a los que han denunciado o delatado o han hecho cosas de ese tipo? ¿Y no van a hacerlo conmigo, que puedo demostrar que ni hice eso ni cometí delito alguno?
Léeme también los juramentos.

(JURAMENTOS)

21 “Y siendo así las disposiciones y hechos así los juramentos, ¿no es grave, jueces, que Calímaco confíe tanto en sus palabras como para creer que os persuadirá a votar contra aquéllos? Y esto no sería sorprendente si viera que la ciudad se volvía atrás de lo acordado. Pero actualmente habéis demostrado la importancia que dais a estas disposiciones, no sólo en la implantación de las leyes.

22, sino que incluso a Filón de Cele, denunciado por prevaricar en su embajada y sin posibilidad de defensa, cuando recurrió a esas disposiciones, decidisteis dejarle libre y no entablarle proceso. Y cuando la ciudad considera que no es justo castigar ni aun a los que reconocen su culpabilidad, Calímaco, en cambio, se atreve a hacer falsas acusaciones contra los que en nada han faltado.

23 Además no se le pasa por alto que Trasibulo y Ánito, los más poderosos de la ciudad[12], que habían sido despojados de muchos bienes y conocían a sus delatores, a pesar de ello, no se atrevieron ni a incoar procesos contra ellos ni a pensar en vengarse; por el contrario, aunque

[12] Eran los jefes del partido democrático que volvieron del Pireo.

τῶν ἄλλων μᾶλλον ἑτέρων δύνανται διαπράττεσθαι, ἀλλ᾽ οὖν περὶ γε τῶν ἐν ταῖς συνθήκαις ἴσον ἔχειν τοῖς ἄλλοις ἀξιοῦσιν.

tenían mayor poder de acción que los demás en otros asuntos, en lo referente a las disposiciones, prefirieron estar en igualdad de condiciones con los ciudadanos corrientes.

[24] καὶ οὐχ οὗτοι μόνοι ταῦτ᾽ ἠξιώκασιν, ἀλλ᾽ οὐδ᾽ ὑμῶν οὐδεὶς τοιαύτην δίκην εἰσελθεῖν τετόλμηκεν. καίτοι δεινόν, εἰ ἐπὶ μὲν τοῖς ὑμετέροις αὐτῶν πράγμασιν ἐμμένετε τοῖς ὅρκοις, ἐπὶ δὲ τῇ τούτου συκοφαντίᾳ παραβαίνειν ἐπιχειρήσετε, καὶ τὰς μὲν ἰδίας ὁμολογίας δημοσίᾳ κυρίας ἀναγκάζετ᾽ εἶναι, τὰς δὲ τῆς πόλεως συνθήκας ἰδίᾳ τὸν βουλόμενον λύειν ἐάσετε.

24 Y no fueron los únicos que pensaron así, sino que ninguno de nosotros se ha atrevido a meterse en un proceso de este tipo. Sería indignante que, si en vuestros propios asuntos sois fieles a los juramentos, intentarais violarlos por la calumniosa acusación de éste y que consintierais que el que quisiera, pudiera romper las disposiciones de la ciudad por su cuenta, y, en cambio, obligarais a que fueran respetados públicamente los acuerdos privados.

[25] ὃ δὲ πάντων ἄν τις μάλιστα θαυμάσειεν, εἰ, ὅτε μὲν ἄδηλον ἦν, εἰ συνοίσουσιν αἱ διαλλαγαὶ τῇ πόλει, τοιούτους ὅρκους ἐποιήσασθε περὶ αὐτῶν, ὥστ᾽ εἰ καὶ μὴ συνέφερεν ἀναγκαῖον εἶναι τοῖς ὡμολογημένοις ἐμμένειν, ἐπειδὴ δ᾽ οὕτω καλῶς ὑμῖν συμβέβηκεν ὥστε καὶ μηδεμιᾶς πίστεως γεγενημένης ἄξιον εἶναι τὴν παροῦσαν πολιτείαν διαφυλάττειν, τηνικαῦτα τοὺς ὅρκους παραβήσεσθε:

25 Lo más sorprendente de todo sería que, cuando no estaba claro si la reconciliación era conveniente a la ciudad, hubierais hecho juramentos de tal naturaleza que, aunque no fuera útil, era forzoso mantener lo convenido; y cuando os ha resultado tan bien que merece la pena mantener la presente constitución[13] sin necesidad de garantía alguna,

[26] καὶ τοῖς μὲν εἰρηκόσιν ὡς χρὴ τὰς συνθήκας ἐξαλείφειν ὠργίζεσθε, τουτονὶ δ᾽, ὃς γεγραμμένας αὐτὰς τολμᾷ παραβαίνειν, ἀζήμιον ἀφήσετε.

ἀλλ᾽ οὔτ᾽ ἂν δίκαια οὔτ᾽ ἄξι᾽ ὑμῶν αὐτῶν οὔτ᾽ ἂν πρέποντα τοῖς πρότερον ἐγνωσμένοις ποιήσαιτε.

26 precisamente ahora vais a violar los juramentos. Y os enfadáis con los que han dicho que hay que borrar las disposiciones, pero con este individuo, que se atreve a violar las que están escritas, a ése lo dejaréis ir sin castigo.
Pero no obraríais con justicia, ni de manera digna de vosotros, ni tampoco de acuerdo con vuestras opiniones anteriores.

[27] ἐνθυμεῖσθε δ᾽ ὅτι περὶ τῶν μεγίστων ἥκετε δικάσοντες: περὶ γὰρ συνθηκῶν τὴν ψῆφον οἴσετε, ἃς οὐδὲ πώποτ᾽ οὔθ᾽ ὑμῖν πρὸς ἑτέρους

27 Pensad que venís para juzgar asuntos de enorme importancia; pues votaréis sobre disposiciones que nunca os interesó violar,

οὔτ᾽ ἄλλοις πρὸς ὑμᾶς ἐλυσιτέλησε παραβῆναι, τοσαύτην δ᾽ ἔχουσι δύναμιν ὥστε τὰ πλεῖστα τοῦ βίου καὶ τοῖς Ἕλλησι καὶ τοῖς βαρβάροις διὰ συνθηκῶν εἶναι.

ni a vosotros con respecto a otros, ni a otros con respecto a vosotros, y que tienen tal fuerza, que la mayoría de las actividades de la vida entre griegos y bárbaros se han producido mediante ellas.

[13] La democrática.

[28] ταύταις γὰρ πιστεύοντες ὡς ἀλλήλους ἀφικνούμεθα καὶ ποριζόμεθα ὧν ἕκαστοι τυγχάνομεν δεόμενοι: μετὰ τούτων καὶ τὰ συμβόλαια τὰ πρὸς ἡμᾶς αὐτοὺς ποιούμεθα καὶ τὰς ἰδίας ἔχθρας καὶ τοὺς κοινοὺς πολέμους διαλυόμεθα: τούτῳ μόνῳ κοινῷ πάντες ἄνθρωποι διατελοῦμεν χρώμενοι. ὥσθ᾽ ἅπασι μὲν προσήκει βοηθεῖν αὐταῖς, μάλιστα δ᾽ ὑμῖν.

28 Pues por confiar en los tratados es por lo que podemos visitarnos mutuamente y adquirir lo que cada uno acaso necesitemos; también con ellos trabamos acuerdos entre nosotros mismos y hacemos cesar las querellas privadas y las guerras comunes; y es sólo esto lo que todos los hombres seguimos usando en común. De modo que conviene a todos el ayudar a mantenerlos, y a nosotros sobre todo.

[29] ὑπόγυιον γὰρ ἐστιν, ἐξ οὗ καταπολεμηθέντες, ἐπὶ τοῖς ἐχθροῖς γενόμενοι, πολλῶν ἐπιθυμησάντων διαφθεῖραι τὴν πόλιν, εἰς ὅρκους καὶ συνθήκας κατεφύγομεν, ἃς εἰ Λακεδαιμόνιοι τολμῷεν παραβαίνειν, σφόδρ᾽ ἂν ἕκαστος ὑμῶν ἀγανακτήσειεν.

29 Pues es cosa reciente, desde que vencidos en la guerra, caímos bajo nuestros enemigos y cuando muchos deseaban destruir la ciudad, el que nos acogiéramos a los juramentos y disposiciones de amnistía[14]; y si los lacedemonios se atreviesen a violarlos, cada uno de vosotros se indignaría muchísimo.

[30] καίτοι πῶς οἷόν τ᾽ ἐστὶν ἑτέρων κατηγορεῖν οἷς αὐτός τις ἔνοχός ἐστιν; τῷ δ᾽ ἂν δόξαιμεν ἀδικεῖσθαι παρὰ τὰς συνθήκας κακῶς πάσχοντες, εἰ μηδ᾽ αὐτοὶ φαινοίμεθ᾽ αὐτὰς περὶ πολλοῦ ποιούμενοι; τίνας δὲ πίστεις πρὸς τοὺς ἄλλους εὑρήσομεν, εἰ τὰς πρὸς ἡμᾶς αὐτοὺς γεγενημένας οὕτως εἰκῇ λύσομεν;

30 Y ¿cómo se puede acusar a otros de lo que uno mismo es reo?; ¿a quién pareceríamos injuriados, si sufriéramos daño en contra de las disposiciones, cuando ni nosotros mismos les mostramos en público la mayor consideración?; ¿qué garantías vamos a encontrar respecto a extraños, si las que nos damos entre nosotros las rompemos tan a la ligera?

[31] ἄξιον δὲ καὶ τῶνδε μνησθῆναι, διότι πολλῶν καὶ καλῶν τοῖς προγόνοις ἐν τῷ πολέμῳ πεπραγμένων οὐχ ἥκισθ᾽ ἡ πόλις ἐκ τούτων τῶν διαλλαγῶν εὐδοκίμησεν. πρὸς μὲν γὰρ τὸν πόλεμον πολλαὶ πόλεις ἂν εὑρεθεῖεν καλῶς ἠγωνισμέναι, περὶ δὲ στάσεως οὐκ ἔστιν ἣν ἄν τις ἐπιδείξειεν ἄμεινον τῆς ἡμετέρας βεβουλευμένην.

31 Y hay que acordarse de estas disposiciones, puesto que nuestros antepasados realizaron muchas y bellas hazañas en la guerra, pero la ciudad no obtuvo menos estimación precisamente por estas reconciliaciones. En la guerra se pueden encontrar muchas ciudades que lucharon con valor, pero nadie podría señalar a otra que haya deliberado mejor que la nuestra sobre una querella civil.

[32] ἔτι δὲ τῶν μὲν τοιούτων ἔργων, ὅσα μετὰ κινδύνων πέπρακται, τὸ πλεῖστον ἄν τις μέρος τῇ τύχῃ μεταδοίη: τῆς δ᾽ εἰς ἡμᾶς αὐτοὺς μετριότητος οὐδεὶς ἂν ἄλλ᾽ ἢ τὴν ἡμετέραν γνώμην αἰτιάσαιτο. ὥστ᾽ οὐκ ἄξιον προδότας ταύτης τῆς δόξης γενέσθαι.

32 Además, cualquiera atribuiría a la suerte la mayor parte de las hazañas que se realizaron con peligro; pero la moderación que usamos con nosotros mismos nadie la achacaría a otra cosa que a nuestra manera de pensar. Así que no hay que traicionar esta buena fama.

[14] Cf. JENOF., *Hel*. 2, 19.

[33] καὶ μηδεὶς ἡγείσθω μ᾽ ὑπερβάλλειν μηδὲ μείζω λέγειν, ὅτι δίκην ἰδίαν φεύγων τούτους εἴρηκα τοὺς λόγους. οὐ γὰρ μόνον περὶ τῶν ἐπιγεγραμμένων χρημάτων ἐστιν οὗτος ὁ ἀγών, ἀλλ᾽ ἐμοὶ μὲν περὶ τούτων, ὑμῖν δὲ περὶ τῶν ὀλίγῳ πρότερον εἰρημένων: ὑπὲρ ὧν οὐδεὶς οὕτ᾽ ἂν εἰπεῖν ἀξίως δύναιτο οὔτ᾽ ἂν τίμημ᾽ ἱκανὸν ἐπιγράψαιτο.

33 Que nadie crea que exagero o hablo de más, porque me he expresado en estos términos al defenderme de una acusación privada. Porque este proceso no sólo concierne al dinero ya fijado en la reclamación; a mí puede afectarme, pero a vosotros también lo que acabo de decir hace poco, y sobre esto nadie podría hablar de manera conveniente ni fijar un castigo adecuado.

[34] τοσοῦτον γὰρ αὕτη διαφέρει τῶν ἄλλων δικῶν, ὥστε τῶν μὲν τοῖς ἀγωνιζομένοις μόνον προσήκει, ταύτῃ δὲ τὸ κοινὸν τῆς πόλεως συγκινδυνεύει. περὶ ταύτης δύ᾽ ὅρκους ὀμόσαντες δικάζετε, τὸν μὲν, ὅνπερ ἐπὶ ταῖς ἄλλαις εἴθισθε, τὸν δ᾽ ὃν ἐπὶ ταῖς συνθήκαις ἐποιήσασθε. ταύτην ἀδίκως γνόντες οὐ τοὺς τῆς πόλεως μόνον νόμους ἀλλὰ καὶ τοὺς ἁπάντων κοινοὺς παραβήσεσθε.
ὥστ᾽ οὐκ ἄξιον οὔτε κατὰ χάριν οὔτε κατ᾽ ἐπιείκειαν οὔτε κατ᾽ ἄλλ᾽ οὐδὲν ἢ κατὰ τοὺς ὅρκους περὶ αὐτῶν ψηφίσασθαι.

34 Porque este proceso difiere mucho de los demás, ya que los otros sólo afectan a los querellantes, pero en éste corre peligro también el interés común de la ciudad. Juzgad éste apoyándoos en dos juramentos, el que soléis prestar en los demás procesos y el que prestasteis en las disposiciones. Si lo sentenciáis injustamente, violaréis no sólo las leyes de la ciudad, sino también las que a todos son comunes. Por ello, no debéis votar de acuerdo con un trato de favor, ni según la conveniencia ni por otro motivo que no sean los juramentos que hay sobre este asunto.

[35] ὡς μὲν οὖν χρὴ καὶ συμφέρει καὶ δίκαιον ὑμᾶς ἐστὶν οὕτω περὶ τῶν συνθηκῶν γιγνώσκειν, οὐδ᾽ αὐτὸν ἡγοῦμαι Καλλίμαχον ἀντερεῖν: οἶμαι δ᾽ αὐτὸν ὀδυρεῖσθαι τὴν παροῦσαν πενίαν καὶ τὴν γεγενημένην αὑτῷ συμφοράν, καὶ λέξειν ὡς δεινὰ καὶ σχέτλια πείσεται, εἰ τῶν χρημάτων, ὧν ἐπὶ τῆς ὀλιγαρχίας ἀφῃρέθη, τούτων ἐν δημοκρατίᾳ τὴν ἐπωβελίαν ὀφλήσει, καὶ εἰ τότε μὲν διὰ τὴν οὐσίαν τὴν αὑτοῦ φυγεῖν ἠναγκάσθη, νυνὶ δ᾽ ἐν ᾧ χρόνῳ προσῆκεν αὐτὸν δίκην λαβεῖν, ἄτιμος γενήσεται.

35 Creo que ni el mismo Calímaco objetará que no es necesario ni conveniente ni justo que vosotros sentenciéis así, de acuerdo con las disposiciones de amnistía; pero creo también que se va a quejar de su pobreza actual y de la desgracia que le ha ocurrido; también dirá que va a sufrir de manera indignante y desdichada, si del dinero del que fue despojado durante la oligarquía, ahora bajo un régimen democrático tiene que abonar la multa correspondiente; así como de que ahora, en el momento en que le corresponde recibir satisfacción, quede privado de derechos[15], cuando antes, a causa de su hacienda, se vio obligado a exiliarse.

[36] κατηγορήσει δὲ καὶ τῶν ἐν τῇ μεταστάσει γενομένων, ὡς ἐκ τοὐτων μάλισθ᾽ ὑμᾶς εἰς ὀργὴν καταστήσων: ἴσως γὰρ τινος ἀκήκοεν, ὡς ὑμεῖς, ὅταν μὴ τοὺς ἀδικοῦντας λάβητε, τοὺς ἐντυγχάνοντας κολάζετε. ἐγὼ δ᾽ οὔθ᾽ ὑμᾶς ταύτην ἔχειν τὴν γνώμην ἡγοῦμαι, πρὸς τε τοὺς ὑπειρημένους λόγους ῥᾳδιον ἀντειπεῖν νομίζω.

36 Acusará también a los que participaron en el cambio político para así encolerizaros más; pues quizá oyó a alguien que vosotros castigáis a los primeros que aparecen, cuando no capturáis a los culpables. Pero yo considero que vosotros no tenéis esta manera de pensar y creo que es fácil objetar los argumentos sugeridos.

[15] Si Calímaco no abono la *epobelía*, quedaría privado de sus derechos de ciudadanía.

[37] πρὸς οὖν τοὺς ὀδυρμούς, ὅτι προσήκει βοηθεῖν ὑμᾶς, οὐχ οἵτινες ἂν δυστυχεστάτους σφᾶς αὐτοὺς ἀποδείξωσιν, ἀλλ᾽ οἵτινες ἂν περὶ ὧν ἀντωμόσαντο δικαιότερα λέγοντες φάνωνται. περὶ δὲ τῆς ἐπωβελίας, εἰ μὲν ἐγὼ τούτων τῶν πραγμάτων αἴτιος ἦν, εἰκότως ἂν αὐτῷ μέλλοντι ζημιώσεσθαι συνήχθεσθε: νῦν δ᾽ οὗτος ἐστιν ὁ συκοφαντῶν, ὥστ᾽ οὐδὲν ἂν δικαίως αὐτοῦ λέγοντος ἀποδέχοισθε.

37 Ante sus lamentos, conviene que ayudéis no a los que se muestran a sí mismos como los más desdichados, sino a quienes aparecen diciendo lo más justo sobre aquello que declararon bajo juramento. Y en lo que se refiere a la multa, si yo fuera culpable de estos asuntos, sería lógico que os condolierais de él, que está a punto de ser multado; pero ahora es él el sicofanta, así que no es justo que admitáis su discurso.

[38] ἔπειτα κἀκεῖνο χρὴ σκοπεῖν, ὅτι πάντες οἱ κατελθόντες ἐκ Περαίεως ἔχοιεν ἂν τοὺς αὐτοὺς λόγους εἰπεῖν, οὕσπερ οὗτος, ὧν οὐδεὶς ἄλλος τετόλμηκε τοιαύτην δίκην εἰσελθεῖν.
Καίτοι χρὴ μισεῖν ὑμᾶς τοὺς τοιούτους καὶ κακοὺς πολίτας νομίζειν, οἵτινες ταῖς μὲν συμφοραῖς ὁμοίας τῷ τῷ πλήθει κέχρηνται, τὰς δὲ τιμωρίας διαφόρους τῶν ἄλλων ἀξιοῦσι ποιεῖσθαι.

38 A continuación, hay que examinar también lo siguiente: que todos los que volvieron del Pireo podrían haber dicho los mismos argumentos que éste, pero ninguno se atrevió a meterse en un proceso semejante. Y es preciso que aborrezcáis a los que son así y consideréis malos ciudadanos a quienes sufrieron las mismas desgracias que la mayoría, pero pretenden alcanzar satisfacciones diferentes a las de los demás.

[39] πρὸς δὲ τοὐτοις ἔτι καὶ νῦν ἔξεστιν αὐτῷ, πρὶν ἀποπειραθῆναι τῆς ὑμετὲρας γνώμης, ἀφέντι τὴν δίκην ἀπηλλάχθαι πάντων τῶν πραγμάτων. καίτοι πῶς οὐκ ἄλογόν ἐστιν ἐν τούτῳ τῷ κινδύνῳ ζητεῖν αὐτόν ἐλέου παρ᾽ ὑμῶν τυγχάνειν, οὗ κύριος αὐτός ἐστι, καὶ εἰς ὃ αὐτὸς αὑτὸν καθίστησι, καὶ ὃ ἔτι καὶ νῦν ἔξεστιν αὐτῷ μὴ κινδυνεύειν;

39 Al margen de esto, aún ahora puede dejar el proceso y librarse de todos los problemas antes de haber sufrido vuestra sentencia. ¿No es absurdo que busque alcanzar compasión de vosotros en este peligro, del que él mismo es el autor y en el que él mismo se pone, cuando todavía le es posible no correrlo?

[40] ἂν δ᾽ ἄρα μέμνηται τῶν ἐπὶ τῆς ὀλιγαρχίας γεγενημένων, ἀξιοῦτε αὐτὸν μὴ ‘κείνων κατηγορεῖν, ὑπὲρ ὧν οὐδεὶς ἀπολογήσεται, ἀλλ᾽ ὡς ἐγὼ τὰ χρήματα εἴληφα διδάσκειν, περὶ οὗπερ ὑμᾶς δεῖ ψηφίζεσθαι, μηδ᾽ ὡς αὐτός δεινὰ πέπονθεν ἀποφαίνειν, ἀλλ᾽ ὡς ἐγὼ πεποίηκα ἐξελέγχειν, παρ᾽ οὗπερ ἀξιοῖ τἀπολωλότα κομίζεσθαι:

40 Y pues se acuerda de lo ocurrido durante la oligarquía, pedidle que no acuse a aquellos a los que nadie defenderá[16], sino que demuestre que yo le he cogido el dinero sobre el que debéis emitir vuestro voto. Y que no se presente como uno que ha sufrido mucho, sino que pruebe que lo hice yo, ya que es de mí de quien piensa obtener lo perdido.

[41] ἐπεὶ κακῶς γ᾽ αὐτὸν πράττοντα ἐπιδεῖξαι καὶ πρὸς ἄλλον ὁντινοῦν ἀγωνιζόμενος τῶν πολιτῶν δύναται. καίτοι χρὴ μέγα παρ᾽ ὑμῖν δύνασθαι τῶν κατηγοριῶν, οὐχ αἷς ἔξεστι χρῆσθαι καὶ πρὸς τοὺς μηδέν ἡμαρτηκότας, ἀλλ᾽ ἃς οὐχ οἷ τ᾽ εἰπεῖν ἀλλ᾽ ἢ κατὰ τῶν ἠδικηκότων.

41 Porque también puede demostrar que él es un desdichado, cuando pleitee contra cualquier otro ciudadano. Las acusaciones que tienen que tener más importancia para vosotros no han de ser las que pueden usarse incluso contra los inocentes, sino las que no es posible aplicar a nadie más que

[16] Los partidarios de la oligarquía.

πρὸς μὲν οὖν τούτους τοὺς λόγους καὶ ταῦτ᾽ ἴσως ἀρκέσει καὶ τάχ᾽ ἀντειπεῖν ἐξέσται.

a los culpables. Ante estos razonamientos quizá bastará lo dicho y será posible refutarle de inmediato.

[42] ἐνθυμεῖσθε δ᾽, εἰ καὶ τῳ δόξω δὶς περὶ τῶν αὐτῶν λέγειν, ὅτι πολλοὶ προσέχουσι ταύτῃ τῇ δίκῃ τὸν νοῦν, οὐ τῶν ἡμετέρων πραγμάτων φροντίζοντες, ἀλλ᾽ ἡγούμενοι περὶ τῶν συνθηκῶν εἶναι τὴν κρίσιν. οὓς ὑμεῖς τὰ δίκαια γνόντες ἀδεῶς οἰκεῖν ἐν τῇ πόλει ποιήσετε: εἰ δὲ μή, πῶς οἴεσθε διακείσεσθαι τοὺς ἐν ἄστει μείναντας, ἢν ὁμοίως ἅπασιν ὀργιζόμενοι φαίνησθε τοῖς μετασχοῦσι τῆς πολιτείας;

42 Aunque parezca que repito por dos veces la misma cosa, pensad que son muchos los que prestan atención a este proceso, no porque les preocupen nuestros asuntos, sino al considerar que el juicio es sobre las disposiciones de amnistía. Si sentenciáis en justicia les garantizaréis vivir sin miedo en la ciudad; pero si no es así, ¿cómo creéis que se encontrarán los que permanecieron en la ciudadela, si os mostráis igualmente enfadados con todos los que participan del derecho de ciudadanía?;

[43] τίνα δὲ γνώμην ἕξειν τοὺς μικρὸν ἁμάρτημα σφίσιν αὐτοῖς συνειδότας, ὅταν ὁρῶσι μηδὲ τοὺς κοσμίως πεπολιτευμένους τῶν δικαίων τυγχάνοντας; πόσην δὲ χρὴ προσδοκᾶν ἔσεσθαι ταραχήν, ὅταν οἱ μὲν ἐπαρθῶσι συκοφαντεῖν ὡς ὑμῶν αὐτοῖς ἤδη ταὔτ᾽ ἐγνωκότων, οἱ δὲ δεδίωσι τὴν παροῦσαν πολιτείαν ὡς οὐδεμιᾶς αὐτοῖς ἔτι καταφυγῆς ὑπαρχούσης;

43 ¿qué van a pensar los que saben que han cometido una falta pequeña, cuando vean que ni los que se comportaron como ciudadanos cabales alcanzan justicia?, y, ¿qué desorden habrá de producirse cuando unos sean empujados a hacer falsas acusaciones pensando que vosotros habéis sentenciado ya lo mismo que ellos, y otros teman la actual constitución, porque no les queda ningún refugio?

[44] ἆρ᾽ οὐκ ἄξιον φοβεῖσθαι μὴ συγχυθέντων τῶν ὅρκων πάλιν εἰς ταὐτὰ καταστῶμεν ἐξ ὧνπερ ἠναγκάσθημεν τὰς συνθήκας ποιήσασθαι; καὶ μὴν οὐ δεῖ γ᾽ ὑμᾶς παρ᾽ ἑτέρων μαθεῖν. ὅσον ἐστὶν ὁμόνοια ἀγαθὸν ἡ στάσις κακόν: οὕτω γὰρ ἀμφοτέρων σφόδρα πεπείρασθε, ὥστε καὶ τοὺς ἄλλους ὑμεῖς ἄριστ᾽ ἂν διδάξαιτε περὶ αὐτῶν.

44 ¿No habrá que temer, al quedar violados los juramentos, que volvamos otra vez a la misma situación por la que nos vimos obligados a promulgar las disposiciones? Y no hará falta que aprendáis de otros qué gran bien es la concordia y qué mal la lucha de partidos[17]; porque habéis probado tanto ambas, que de ellas podéis ser unos excelentes maestros para otros.

[45] ἵνα δὲ δοκῶ διὰ τοῦτο πολὺν χρόνον περὶ τὰς συνθήκας διατρίβειν, ὅτι ῥᾴδιόν ἐστι περὶ αὐτῶν πολλὰ καὶ δίκαια εἰπεῖν, τοσοῦτον ὑμῖν ἔτι διακελεύομαι μνημονεύειν, ὅταν φέρητε τὴν ψῆφον, ὅτι πρὶν μὲν ποιήσασθαι ταύτας ἐπολεμοῦμεν, οἱ μὲν τὸν κύκλον ἔχοντες, οἱ δὲ τὸν Πειραιᾶ κατειληφότες, μᾶλλον ἀλλήλους

45 Para que no parezca que consumo mucho tiempo en el asunto de las disposiciones de amnistía, porque es fácil decir de ellas muchas cosas justas, os aconsejo recordar, cuando votéis, sólo lo siguiente: que antes de suscribir estas disposiciones, estábamos en guerra, ocupando unos el círculo de las murallas, otros el Pireo tras

[17] Este elogio de la concordia cívica es semejante al que sobre la concordia panhelénica se hace en *Panegírico* 3; P. CLOCHÉ, *Isocrate*…, pág. 71, ve idéntico sentimiento en ambos casos.

μισοῦντες ἢ τοὺς ὑπὸ τῶν προγόνων πολεμίους ἡμῖν καταλειφθέντας,

haberlo conquistado[18], odiándonos entre nosotros más que a los enemigos que nos dejaron los antepasados;

[46] ἐπειδὴ δὲ τὰς πίστεις ἀλλήλοις ἔδομεν εἰς ταὐτὸν συνελθόντες, οὕτω καλῶς καὶ κοινῶς πολιτευόμεθα, ὥσπερ οὐδεμιᾶς ἡμῖν συμφορᾶς γεγενημένης. καὶ τότε μὲν ἀμαθεστάτους καὶ δυστυχεστάτους πάντες ἡμᾶς ἐνόμιζον: νῦν δ᾽ εὐδαιμονέστατοι καὶ σωφρονέστατοι τῶν Ἑλλήνων δοκοῦμεν εἶναι.

46 y, después que nos dimos mutuas garantías, tras reunimos en un mismo lugar, trazamos una política tan bella e igualitaria que ningún desastre nos sobrevino. Antes, todos pensaban que éramos los más atrasados e infortunados, pero ahora parece que somos los más felices y prudentes de los griegos.

[47] ὥστ᾽ ἄξιον οὐ μόνον τηλικαύταις ζημίαις κολάζειν τοὺς παραβαίνειν τολμῶντας τὰς συνθήκας ἀλλὰ ταῖς ἐσχάταις, ὡς τῶν μεγίστων κακῶν αἰτίους ὄντας, ἄλλως τε καὶ τοὺς ὥσπερ Καλλίμαχος βεβιωκότας. ὃς δέκα μὲν ἔτη συνεχῶς ὑμῖν Λακεδαιμονίων πολεμησάντων οὐδὲ μίαν παρέσχεν αὑτὸν ἡμέραν τάξαι τοῖς στρατηγοῖς,

47 Por ello, no sólo hay que castigar con multas como las prescritas a los que se atreven a violar las disposiciones, sino con otras más duras, como a gente responsable de los peores delitos, sobre todo a los que han vivido como Calímaco. Éste, durante los diez años en que mantuvisteis guerra sin interrupción contra los lacedemonios[19] ni un solo día se presentó a los estrategos para que le asignaran un puesto de combate;

[48] ἀλλ᾽ ἐκεῖνον μὲν τὸν χρόνον διετέλεσεν ἀποδιδράσκων καὶ τὴν οὐσίαν ἀποκρυπτόμενος, ἐπειδὴ δ᾽ οἱ τριάκοντα κατέστησαν, τηνικαῦτα κατέπλευσεν εἰς τὴν πόλιν. καὶ φησὶ μὲν εἶναι δημοτικός, τοσούτῳ δὲ μᾶλλον τῶν ἄλλων ἐπεθύμει μετασχεῖν ἐκείνης τῆς πολιτείας, ὥστ᾽ οὐδ᾽ εἰ κακῶς ἔπαθεν, ἠξίωσεν ἀπελθεῖν, ἀλλ᾽ ᾑρεῖτο μετὰ τῶν ἡμαρτηκότων εἰς αὐτὸν πολιορκεῖσθαι μᾶλλον ἢ μεθ᾽ ὑμῶν τῶν συνηδικημένων πολιτεύεσθαι.

48 antes bien, aquel tiempo lo pasó escondiéndose y ocultando su hacienda; cuando los Treinta llegaron al poder, entonces desembarcó en la ciudad. Y afirma que es demócrata, pero le gustaba tanto participar de aquel régimen que, aunque lo pasó mal, no quiso marcharse, prefirió ser sitiado con los que le habían hecho daño, a vivir como ciudadano con vosotros que también habíais sufrido injusticias.

[49] καὶ μέχρι τῆς ἡμέρας ἐκείνης παρέμεινε μετέχων τῆς πολιτείας, ἐν ᾗ προσβαλεῖν ἠμέλλετε πρὸς τὸ τεῖχος: τότε δ᾽ ἐξῆλθεν, οὐ τὰ παρόντα μισήσας ἀλλὰ δείσας τὸν ἐπιόντα κίνδυνον, ὡς ὕστερον ἐδήλωσεν. ἐπειδὴ γὰρ Λακεδαιμονίων ἐθόντων ὁ δῆμος ἐν τῷ Πειραιεῖ κατεκλείσθη, πάλιν ἐκεῖθεν διαδρὰς ἐν Βοιωτοῖς διητᾶτο: ὥστ᾽ αὐτῷ προσήκει μετὰ τῶν αὐτομόλων ἀναγεγράφθαι πολὺ μᾶλλον ἢ τῶν φυγόντων ὀνομάζεσθαι.

49 y se mantuvo como partidario del régimen hasta aquel día en que os disponíais a asaltar la muralla. Entonces se marchó, no porque odiase la situación presente, sino por temor a un peligro futuro, como luego quedó claro. Cuando el pueblo fue encerrado en el Pireo tras la venida de los lacedemonios, de nuevo escapó de allí y vivió en Beocia; así que es mucho más conveniente inscribirle entre los desertores que citarle como exiliado.

[18] Los oligarcas ocupaban el recinto amurallado de la ciudad, comenzado por Temístoles y terminado por Cleón.

[19] Isócrates se refiere a la guerra de Decelia (413-404 a. C.), última fase de la guerra del Peloponeso; en la primavera del año 413 los espartanos ocuparon Decelia, en el Ática; de ahí el nombre de este período de la guerra.

[50] καὶ τοιοῦτος γεγενημένος καὶ περὶ τοὺς ἐκ Πειραιέως καὶ περὶ τοὺς ἐν ἄστει μείναντας καὶ περὶ πᾶσαν τὴν πόλιν, οὐκ ἀγαπᾷ τῶν ἴσων τυγχάνειν τοῖς ἄλλοις ἀλλὰ ζητεῖ πλέον ἔχειν ὑμῶν, ὥπερ ἢ μόνος ἀδικηθεὶς ἢ βέλτιστος ὢν πολιτῶν ἢ μεγίσταις συμφοραῖς δι᾽ ὑμᾶς κεχρημένος ἢ πλείστων ἀγαθῶν αἴτιος τῇ πόλει γεγενημένος.

50 Y habiéndose comportado así con los que vinieron del Pireo, con los que permanecieron en la ciudadela y con toda la ciudad, no quiere obtener lo mismo que los demás, sino que busca tener más que vosotros, como si fuera el único injuriado o el mejor de los ciudadanos, o como si hubiera sufrido las mayores desgracias en beneficio vuestro o hubiera sido el autor de los más grandes bienes para la ciudad.

[51] ἠβουλόμην δ᾽ ἂν ὑμᾶς ὁμοίως ἐμοὶ γιγνώσκειν αὐτόν, ἵν᾽ αὐτῷ μὴ τῶν ἀπολωλότων συνήχθεσθε ἀλλὰ τῶν ὑπολοίπων ἐφθονεῖτε. νῦν δὲ περὶ μὲν τῶν ἄλλων ὅσοις ἐπιβεβούλευκε, καὶ δίκας οἵας δεδίκασται καὶ γραφὰς ἃς εἰσελήλυθε, καὶ μεθ᾽ ὧν συνέστηκε καὶ καθ᾽ ὧν τὰ ψευδῆ μεμαρτύρηκεν, οὐδ᾽ ἂν δὶς τοσοῦτον ὕδωρ ἱκανὸν διηγήσασθαι γένοιτο:

51 Querría que le conocierais tan bien como yo, para que no le compadecierais por lo que ha perdido, sino que le aborrecierais por lo que ha conservado. Ahora, en otro orden de cosas, no bastaría una cantidad de agua doble de la que tengo[20] para contar a cuántos hizo objeto de sus intrigas, los procesos privados que promovió y los procesos públicos en los que se presentó como acusador, con quiénes conspiró y contra quiénes testificó en falso.

[52] ἓν δὲ μόνον ἀκούσαντες τῶν τούτῳ πεπραγμένων ῥᾳδίως καὶ τὴν ἄλλην αὐτοῦ πονηρίαν γνώσεσθε.
Κρατῖνος γὰρ ἠμφισβήτησε χωρίου τῷ τούτου κηδεστῇ. μάχης δ᾽ αὐτοῖς γενομένης, ὑποκρυψάμενοι θεράπαιναν ἠτιῶντο τὸν Κρατῖνον συντρῖψαι τῆς κεφαλῆς αὐτῆς, ἐκ δὲ τραύματος φάσκοντες ἀποθανεῖν τὴν ἄνθρωπον λαγχάνουσιν αὐτῷ φόνου δίκην ἐπὶ Παλλαδίῳ.

52 Con oír una sola cosa de las que él ha hecho, conoceréis fácilmente toda su maldad.
Cratino tuvo un pleito a propósito de un terreno con el cuñado de aquél. Entre ellos se produjo una pelea, y tras ocultar a una criada, acusaron a Cratino de que le había roto la cabeza. Y, sosteniendo que de resultas de la herida había muerto la mujer, incoan a Cratino un proceso de homicidio en el tribunal del Paladio[21].

[53] πυθόμενος δ᾽ ὁ Κρατῖνος τὰς τούτων ἐπιβουλὰς τὸν μὲν ἄλλον χρόνον ἡσυχίαν ἦγεν, ἵνα μὴ μεταθεῖντο τὸ πρᾶγμα μηδ᾽ ἑτέρους λόγους ἐξευρίσκοιεν, ἀλλ᾽ ἐπ᾽ αὐτοφώρῳ ληφθεῖεν κακουργοῦντες: ἐπειδὴ δ᾽ ὁ κηδεστὴς μὲν ἦν ὁ τούτου κατηγορηκώς, οὗτος δὲ μεμαρτυρηκὼς ἦ μὴν τεθνάναι τὴν ἄνθρωπον,

53 Pero Cratino supo sus manejos y permaneció tranquilo para que no cambiasen su plan ni buscasen otros argumentos y para coger a los malhechores en flagrante delito. Y cuando el cuñado hizo esta acusación y Calímaco testificó que la mujer había muerto realmente,

[54] ἐλθόντες εἰς τὴν οἰκίαν ἵν᾽ ἦν κεκρυμμένη, βίᾳ λαβόντες αὐτὴν καὶ ἀγαγόντες ἐπὶ τὸ δικαστήριον ζῶσαν ἅπασι τοῖς παροῦσιν ἐπέδειξαν. ὥσθ᾽ ἑπτακοσίων μὲν δικαζόντων,

54 Cratino y los suyos fueron a la casa donde había sido escondida, la cogieron por la fuerza y la llevaron al tribunal y allí la mostraron viva a todos los presentes. Y así, siendo 700 los jueces, y

[20] El tiempo que acusado y acusador podían utilizar para exponer sus argumentos, estaba marcado por un reloj de agua, la clepsidra.

[21] Tribunal que resolvía casos de homicidio involuntario y también asesinatos de esclavos, metecos y extranjeros; cf. ARISTÓTELES, *Constitución de Atenas* 57, 3.

τεττάρων δὲ καὶ δέκα μαρτυρησάντων ἅπερ οὗτος, οὐδεμίαν ψῆφον μετέλαβε.

tras testificar 14 testigos lo mismo que Calímaco, éste no obtuvo ni un voto.

καί μοι κάλει τούτων μάρτυρας.”

Llámame a los testigos de estos hechos.”

Μάρτυρες

(TESTIGOS)

[55] τίς οὖν ἀξίως δύναιτο κατηγορῆσαι τῶν τούτῳ πεπραγμένων; ἢ τίς ἂν εὑρεῖν ἔχοι παράδειγμα μεῖζον ἀδικίας καὶ συκοφαντίας καὶ πονηρίας; ἔνια μὲν γὰρ τῶν ἀδικημάτων οὐκ ἂν ὅλον τὸν τρόπον δηλώσειε τῶν ἀδικησάντων, ἐκ δὲ τῶν τοιούτων ἔγρων ἅπαντα τὸν βίον τῶν ἐξαμαρτανόντων ῥᾴδιον κατιδεῖν ἐστίν.

55 “¿Quién podría acusar adecuadamente lo que él ha hecho? o ¿quién podría encontrar un ejemplo mayor de injusticia, falsa acusación y maldad? Porque algunas malas acciones no aclararían toda la manera de ser de los que las cometieron, pero de hechos semejantes es fácil deducir toda la vida de sus autores.

[56] ὅστις γὰρ τοὺς ζῶντας τεθνάναι μαρτυρεῖ, τίνος ἂν ὑμῖν ἀποσχέσθαι δοκεῖ; ἢ ὅστις ἐπὶ τοῖς ἀλλοτρίοις πράγμασιν οὕτω πονηρός ἐστι, τί οὐκ ἂν ἐπὶ τοῖς αὑτοῦ τολμήσειεν; πῶς δὲ χρὴ τούτῳ πιστεύειν ὑπὲρ αὑτοῦ λέγοντι, ὃς ὑπὲρ ἑτέρων ἐπιορκῶν ἐξελέγχεται; τίς δὲ πώποτε φανερώτερον ἐπεδείχθη τὰ ψευδῆ μαρτυρῶν; τοὺς μὲν γὰρ ἄλλους ἐκ τῶν λεγομένων κρίνετε, τὴν δὲ τούτου μαρτυρίαν, ὅτι ψευδὴς ἦν, εἶδον οἱ δικάζοντες.

56 Pues, ¿de qué os parece que se abstendrá quien testifica que los vivos están muertos? o, quien es tan malvado en asuntos ajenos ¿a qué no se atreverá en los propios? ¿Cómo se le va a creer cuando hable en defensa de él mismo, si en defensa de otros se mostró perjuro? ¿Qué falso testigo quedó nunca más al descubierto? A los demás los juzgáis por sus palabras, pero que era falso el testimonio de éste saltó a la vista de los jueces.

[57] καὶ τοιαῦθ᾽ ἡμαρτηκὼς ἐπιχειρήσει λέγειν, ὡς ψευδόμεθα, ὅμοιον ἐργαζόμενος, ὥσπερ ἂν εἴ τῳ Φρυνώνδας πανουργίαν ὀνειδίσειεν ἢ Φιλουργὸς ὁ τὸ Γοργόνειον ὑφελόμενος τοὺς ἄλλους ἱεροσύλους ἔφασκεν εἶναι. τίνα δὲ προσήκει τῶν μὴ γενομένων παρασχέσθαι μάρτυρας μᾶλλον ἢ τοῦτον, ὃς αὐτὸς ἑτέροις τὰ ψευδῆ τολμᾷ μαρτυρεῖν;

57 Aun convicto de tales cosas, intentará decir que nosotros mentimos, obrando como Frinondas[22] que echó en cara su crimen a otro, o como Filurgo, quien tras robar la cara de la Gorgona[23], decía que eran otros los saqueadores de templos. ¿A qué otro mejor que a éste conviene presentar como testigo de cosas no sucedidas, a quien se atreve a presentar personalmente un falso testimonio en favor de otros?

[58] ἀλλὰ γὰρ Καλλιμάχου μὲν ἐξέσται πολλάκις κατηγορεῖν, οὕτω γὰρ παρεσκεύασται πολιτεύεσθαι, περὶ δ᾽ ἐμαυτοῦ τὰς μὲν ἄλλας ἁπάσας παραλείψω λειτουργίας, ἧς δ᾽ οὐ μόνον ἄν μοι δικαίως ἔχοιτε χάριν ἀλλὰ καὶ τεκμηρίῳ χρήσαισθε περὶ τοῦ παντὸς πράγματος, ταύτης δὲ μνησθήσομαι πρὸς ὑμᾶς.

58 Se puede por otro lado acusar muchas veces a Calímaco, pues tal era su disposición para vivir como ciudadano; en cambio, en lo que a mí se refiere, dejaré de mencionar todos los demás servicios prestados por mí, pero os recordaré uno por el que no sólo me debéis gratitud en justicia, sino que podéis utilizarlo como prueba de todo un modo de obrar.

[22] Un conocido estafador, mencionado por ARISTÓFANES, *Tesmoforias* 861.

[23] La cabeza de oro de la Gorgona que adornaba la armadura de la Atena crisoelefantina de Fidias, en el Partenón.

[59] ὅτε γὰρ ἡ πόλις ἀπώλεσε τὰς ναῦς τὰς ἐν Ἑλλησπόντῳ καὶ τῆς δυνάμεως ἐστερήθη, τῶν μὲν πλείστων τριηράρχων τοσοῦτον διήνεγκον, ὅτι μετ᾽ ὀλίγων ἔσωσα τὴν ναῦν, αὐτῶν δὲ τούτων, ὅτι καταπλεύσας εἰς τὸν Πειραιᾶ μόνος οὐ κατέλυσα τὴν τριηραρχίαν,

59 Cuando la ciudad perdió las naves en el Helesponto[24] y fue privada de su fuerza, me distinguí tanto de los demás trierarcos[25], que fui de los pocos que salvó su nave y el único de ellos que no dejé la trierarquía cuando desembarqué en el Pireo.

[60] ἀλλὰ τῶν ἄλλων ἀσμένως ἀπαλλαττομένων τῶν λητουργιῶν καὶ πρὸς τὰ παρόντ᾽ ἀθύμως διακειμένων, καὶ τῶν μὲν ἀνηλωμένων αὐτοῖς μεταμέλον, τὰ δὲ λοιπὰ ἀποκρυπτομένων, καὶ νομιζόντων τὰ μὲν κοινὰ διεφθάρθαι, τὰ δ᾽ ἴδια σκοπουμένων, οὐ τὴν αὐτὴν ἐκείνοις γνώμην ἔσχον, ἀλλὰ πείσας τὸν ἀδελφὸν συντριηραρχεῖν, παρ᾽ ἡμῶν αὐτῶν μισθὸν διδόντες τοῖς ναύταις κακῶς ἐποιοῦμεν τοὺς πολεμίους.

60 Mientras los demás se desprendían con gusto de sus cargos públicos, estaban desanimados ante las circunstancias presentes, se arrepentían de lo que dieron, ocultaban lo que les quedaba, juzgaban destruidos los asuntos públicos y se preocupaban de sus asuntos privados, yo no tuve la misma actitud que aquéllos; al contrario, convencí a mi hermano para que compartiese mi trierarquía y, dando de nuestros propios fondos un sueldo a los marineros, hacíamos daño a los enemigos.

[61] τὸ δὲ τελευταῖον πρὸ εἰπόντος Λυσάνδρου, εἴ τις εἰσάγοι σῖτον ὡς ὑμᾶς, θάνατον τὴν ζημίαν, οὕτω φιλοτίμως εἴχομεν πρὸς τὴν πόλιν, ὥστε τῶν ἄλλων οὐδὲ τὸν σφέτερον αὐτῶν εἰσάγειν τολμώντων ἡμεῖς τὸν ὡς ἐκείνους εἰσπλέοντα λαμβάνοντες εἰς τὸν Πειραιᾶ κατήγομεν. ἀνθ᾽ ὧν ὑμεῖς ἐψηφίσασθ᾽ ἡμᾶς στεφανῶσαι καὶ πρόσθε τῶν ἐπωνύμων ἀνειπεῖν ὡς μεγάλων ἀγαθῶν αἰτίους ὄντας.

61 Finalmente, cuando Lisandro proclamó que había pena de muerte para el que os llevara trigo[26], nos portamos tan bien con la ciudad que cuando los demás no se atrevían a llevar ni el suyo, cogimos el que venía por mar para ellos y lo llevamos al Pireo. Por esto vosotros votasteis una corona para nosotros, y que nos nombraran ante los epónimos[27] autores de los mayores bienes.

[62] καίτοι χρὴ τούτους δημοτικοὺς νομίζειν, οὐχ ὅσοι κρατοῦντος τοῦ δήμου μετασχεῖν τῶν πραγμάτων ἐπεθύμησαν, ἀλλ᾽ οἳ δυστυχησάσης τῆς πόλεως προκινδυνεύειν ὑμῶν ἠθέλησαν,

καὶ χάριν ἔχειν, οὐκ εἴ τις αὐτὸς κακῶς πέπονθεν, ἀλλ᾽ εἴ τις ὑμᾶς εὖ πεποίηκε, καὶ πένητας γενομένους ἐλεεῖν οὐ τοὺς ἀπολωλεκότας τὴν οὐσίαν ἀλλὰ τοὺς εἰς ὑμᾶς ἀνηλωκότας.

62 Hay que considerar demócratas no a los que desearon participar en los asuntos públicos cuando el pueblo tuvo el poder, sino a los que quisieron correr peligros por vosotros cuando la ciudad estuvo en mala situación; y hay que demostrar gratitud no al que personalmente lo pasó mal, sino al que os ha hecho un bien, y compadecer a los que se hicieron pobres no por perder su hacienda, sino por perderla en beneficio vuestro.

[63] ὧν εἷς ἐγὼ φανήσομαι γεγενημένος, ὃς πάντων ἂν εἴην δυστυχέστατος, εἰ πολλὰ τῶν

63 Uno de éstos evidentemente soy yo, que sería el más desdichado de todos si habiéndome

[24] En la batalla de Egospótamos (405 a. C.).

[25] La trierarquía era una prestación extraordinaria al estado ateniense, que consistía en equipar una trirreme.

[26] Durante el bloqueo de Atenas al final de la guerra del Peloponeso.

[27] Estatuas de los héroes que dieron sus nombres a las 10 tribus del Ática.

ἐμαυτοῦ δεδαπανημένος εἰς τὴν πόλιν εἶτα δόξαιμι τοῖς ἀλλοτρίοις ἐπιβουλεύειν καὶ περὶ μηδενὸς ποιεῖσθαι τὰς παρ᾽ ὑμῖν διαβολάς, ὃς οὐ μόνον τὴν οὐσίαν ἀλλὰ καὶ τὴν ψυχὴν τὴν ἐμαυτοῦ περὶ ἐλάττονος φαίνομαι ποιούμενος τοῦ παρ᾽ ὑμῖν εὐδοκιμεῖν.

gastado muchos de mis bienes en beneficio de la ciudad, pareciera conspirar por lo de otros y tener en poco vuestra mala opinión, ruando claramente no sólo mi hacienda sino mi propia v ida las tuve en menos que una buena fama entre vosotros.

[64] τῷ δ᾽ οὐκ ἂν ὑμῶν μεταμελήσειεν, εἰ καὶ μὴ παραχρῆμα ἀλλ᾽ ὀλίγον ὕστερον, εἰ τὸν μὲν συκοφάντην ἴδοιτε πλούσιον γεγενημένον, ἐμὲ δ᾽ ἐξ ὧν ὑπέλιπον λητουργῶν, καὶ τούτων ἐκπεπτωκότα; καὶ τὸν μὲν μηδὲ πώποτε ὑπὲρ ὑμῶν κινδυνεύσαντα μεῖζον καὶ τῶν νόμων καὶ τῶν συνθηκῶν δυνάμενον,

64 ¿A quién de vosotros no causaría pesar, si no inmediatamente, sí poco después, si viese al sicofanta convertido en rico, y a mí despojado también de este dinero además del que gasté en los cargos públicos?; ¿y viese con mayor poder que las leyes y las disposiciones a quien nunca corrió peligros por vosotros,

[65] ἐμὲ δὲ τὸν οὕτω πρόθυμον περὶ τὴν πόλιν γεγενημένον μηδὲ τῶν δικαίων ἀξιούμενον τυγχάνειν; τίς δ᾽ οὐκ ἂν ὑμῖν ἐπιτιμήσειεν, εἰ πεισθέντες ὑπὸ τῶν Καλλιμάχου λόγων τοσαύτην πονηρίαν ἡμῶν καταγνοίητε, οὓς ἐκ τῶν ἔργων κρίναντες δι᾽ ἀνδραγαθίαν ἐστεφανώσατε, ὅτ᾽ οὐδ᾽ οὕτω ῥᾴδιον ἦν ὥσπερ νῦν τυχεῖν ταύτης τῆς τιμῆς;

65 mientras que a mí que tan animoso fui con la ciudad ni siquiera se me considera merecedor de alcanzar justicia? ¿Quién no os censuraría, si, influidos por las palabras de Calímaco, nos achacáis tal maldad a nosotros, después de haber juzgado que merecíamos una corona al valor por nuestras acciones, cuando no era tan fácil como ahora alcanzar este honor?

[66] τοὐναντίον δ᾽ ἡμῖν συμβέβηκεν ἢ τοῖς ἄλλοις: οἱ μὲν γὰρ ἄλλοι τοὺς εἰληφότας τὰς δωρεὰς ὑπομιμνήσκουσιν, ἡμεῖς δ᾽ ὑμᾶς τοὺς δεδωκότας ἀξιοῦμεν μνημονεύειν, ἵν᾽ ὑμῖν τεκμήριον τῶν εἰρημένων ἁπάντων καὶ τῶν ἐπιτηδευμάτων τῶν ἡμετέρων γένηται.

66 Nos ocurre lo contrario que a los demás; pues otros recuerdan los beneficios a los que los recibieron, pero nosotros juzgamos oportuno recordároslos a vosotros que los concedisteis, para que os sirva como prueba de todo lo dicho y de nuestra manera de vivir.

[67] δῆλον δ᾽ ὅτι ταύτης τῆς τιμῆς ἀξίους ἡμᾶς αὐτοὺς παρείχομεν, οὐχ ἵν᾽ ὀλιγαρχίας γενομένης τἀλλότρια διαρπάζοιμεν, ἀλλ᾽ ἵνα σωθείσης τῆς πόλεως οἵ τ᾽ ἄλλοι τὰ σφέτερ᾽ αὐτῶν ἔχοιεν, ἡμῖν τε παρὰ τῷ πλήθει τῶν πολιτῶν χάρις ὀφείλοιτο:

67 Está claro que, si nosotros mismos fuimos considerados dignos de este honor, no fue para robar lo ajeno cuando se estableció la oligarquía, sino para que, salvada la ciudad, los demás tuvieran lo suyo y la mayoría de los ciudadanos nos debieran su agradecimiento;

ἣν ὑμᾶς νῦν ἀπαιτοῦμεν, οὐ πλέον ἔχειν τοῦ δικαίου ζητοῦντες, ἀλλ᾽ ἀποφαίνοντες μὲν ὡς οὐδὲν ἀδικοῦμεν, ἀξιοῦντες δὲ τοῖς ὅρκοις καὶ ταῖς συνθήκαις ἐμμένειν.

que es el que ahora os pedimos, no porque busquemos tener más de lo justo, sino para demostrar que en nada delinquimos…[28], permaneciendo fieles a los juramentos y a las disposiciones.

[68] καὶ γὰρ ἄν εἴη δεινὸν εἰ τοὺς μὲν ἠδικηκότας τιμωρίας ἀφεῖναι κύριαι γένοιντο, ἐφ᾽ ἡμῖν δὲ

68 Sería terrible que estas disposiciones fuesen capaces de librar de castigo a los culpables y, en

[28] Laguna de 8 o 9 letras, según los MSS, BLASS suple *axiuontes*, con lo que el texto podría quedar: «Sino para demostrar que en nada pensamos delinquir».

τοῖς εὖ πεποιηκόσιν ἄκυροι κατασταθεῖεν. ἄξιον δὲ τὴν παροῦσαν τύχην διαφυλάττειν, ἐνθυμουμένους, ὅτι ἑτέρας μὲν πόλεις ἐποίησαν ἤδη συνθῆκαι μᾶλλον στασιάσαι, τὴν δ᾽ ἡμετέραν μᾶλλον ὁμονοεῖν. ὧν χρὴ μεμνημένους ἅμα τά τε δίκαια καὶ τὰ συμφέροντα ψηφίσασθαι.

cambio, resultasen ineficaces para nosotros que hemos obrado bien. Se debe guardar la suerte actual, pensando que, en otras ciudades, tratados similares incrementaron las discordias civiles, pero en la nuestra, en cambio, la concordia. Tenéis que acordaros de ellos y votar lo justo y conveniente.